17 ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος,
χεῖρες ἐκχέουσαι αἷμα δικαίου
18 καὶ καρδία τεκταινομένη λογισμοὺς κακοὺς
καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν·
19 ἐκκαίει ψεύδη μάρτυς ἄδικος
καὶ ἐπιπέμπει κρίσεις ἀνὰ μέσον ἀδελφῶν.
20 Υἱέ, φύλασσε νόμους πατρός σου
καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου·
21 ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διὰ παντὸς
καὶ ἐγκλοίωσαι ἐπὶ σῷ τραχήλῳ.
22 ἡνίκα ἂν περιπατῇς, ἐπάγου αὐτήν, καὶ μετὰ σοῦ ἔστω·
ὡς δ᾽ ἂν καθεύδῃς, φυλασσέτω σε,
ἵνα ἐγειρομένῳ συλλαλῇ σοι·
23 ὅτι λύχνος ἐντολὴ νόμου καὶ φῶς,
καὶ ὁδὸς ζωῆς ἔλεγχος καὶ παιδεία
24 τοῦ διαφυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρου
καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας.
25 μή σε νικήσῃ κάλλους ἐπιθυμία,
μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς
μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων·
26 τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτου,
γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει.
27 ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει;
28 ἢ περιπατήσει τις ἐπ᾽ ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει;
29 οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον,
οὐκ ἀθῳωθήσεται οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς.
30 οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων,
κλέπτει γὰρ ἵνα ἐμπλήσῃ τὴν ψυχὴν πεινῶν·
31 ἐὰν δὲ ἁλῷ, ἀποτείσει ἑπταπλάσια
καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς ῥύσεται ἑαυτόν.
32 ὁ δὲ μοιχὸς δι᾽ ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται,
33 ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει,
τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα.
34 μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς·
οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως,

$17^2$ δικαιον ASc || $20^1$ υιε φυλ.] tr. A || $21^1$ αυτας S*: cf. 3 3 | $21^2$ επι BS*OV†] περι rel. || $23^1$ και φως ad $23^2$ trahunt BS | $23^2$ και οδος] και > BS*V† | ελεγχος] pr. και B* || $24^1$ διαφυλ.] δια > S*† || $30^1$ αλω τις] tr. A† | $30^2$ την > ASc | πεινων BSV†] -νωσαν rel. || $34^1$ > S*†